τρίτον τοῦτο τὸ περὶ τὰς ταφὰς αἱ⟨ρεῖ θερμότε⟩ρα τὰ
θήλεα τῶν ἀρρένων εἶναι· λέγεται γὰρ ὑπὸ τῶν σκευω-
ρουμένων † τὰ μὲν συντίθεσθαι παρὰ δέκα νεκροὺς ἀνδρῶν
ἕνα γυναικὸς καὶ συνεξάπτειν, δᾳδῶδές τι καὶ λιπαρὸν
αὐτῶν τῆς σαρκὸς ἐχούσης, ὥσθ' ὑπέκκαυμα γίνεσθαι
τῶν ἄλλων. ἔτι δ', εἰ θερμότερον τὸ γονιμώτερον αἱ δὲ
παρθένοι τῶν παίδων ὀργῶσι πρότερον καὶ σαλεύονται
πρὸς τὸ γεννᾶν, οὐδ' αὕτη τις ἀσθενὴς ἀπόδειξις ἂν εἴη
τῆς θερμότητος. ἔτι δὲ μείζων καὶ πιθανωτέρα τὸ πρὸς C
τὰ κρύη καὶ τοὺς χειμῶνας εὐφόρως ἔχειν· ἧττον γὰρ αἱ
πλεῖσται ῥιγοῦσι τῶν ἀνδρῶν καὶ παντάπασιν ἱματίων
ὀλίγων δέονται.'

3. 'Ἀλλ' ἀπ' αὐτῶν οἶμαι τούτων' ὁ Φλῶρος ἔφη
'τῶν ἐπιχειρημάτων ἐλέγχεσθαι τὸ δόγμα. πρῶτον μὲν
γὰρ ἀντέχουσι τῷ ψύχει μᾶλλον, ὅτι πολλάκις τὸ ὅμοιον
ὑπὸ τοῦ ὁμοίου δυσπαθέστερόν ἐστιν. ἔπειτα μέντοι καὶ
τὸ σπέρμα † μὴ προγεγονέναι τὸ γόνιμον διὰ κατάψυξιν,
ἀλλ' ὕλην μόνον καὶ τροφὴν παρέχειν τῷ ἀπὸ τοῦ ἄρρενος.
ἔπειτα λήγουσι τίκτουσαι πολὺ πρότερον ἢ γεννῶντες οἱ
ἄνδρες. καίονται δὲ βέλτιον ὑπὸ πιμελῆς, ὃ δοκεῖ ψυχρό-
τατον εἶναι τοῦ σώματος· ἥκιστα γοῦν οἱ νέοι καὶ γυμνα- D